κληθείητε καὶ ὕμμες Ἐρωτίδες. οὐ νέμεσίς τοι,
  Ὀξεῖαι, ταύτην κλῆσιν ἀμειψαμέναις.
παιδὶ γάρ, ὃν τύμβῳ Διῆς ὑπεθήκατο βώλου,
  οὔνομα καὶ μορφὴν αὐτὸς ἔδωκεν Ἔρως.
ὦ χθὼν σηματόεσσα καὶ ἡ παρὰ θινὶ θάλασσα,
  παιδὶ σὺ μὲν κούφη κεῖσο, σὺ δ' ἡσυχίη.

## XVIII

καὶ αὐτὴ ἤχλυσεν ἀκρέσπερος ἀντέλλουσα
  Μήνη, πένθος ἑὸν νυκτὶ καλυψαμένη,
οὕνεκα τὴν χαρίεσσαν ὁμώνυμον εἶδε Σελήνην
  ἄπνουν εἰς ζοφερὸν δυομένην Ἀίδην·
κείνῃ γὰρ καὶ κάλλος ἑοῦ κοινώσατο φωτός,
  καὶ θάνατον κείνης μῖξεν ἑῷ κνέφεϊ.

## XIX

Ὑμνίδα τὴν Εὐάνδρου, ἐράσμιον αἰὲν ἄθυρμα
  οἰκογενές, κούρην αἱμύλον εἰναέτιν,
ἥρπασας, ὦ ἄλλιστ' Ἀίδη, τί πρόωρον ἐφιείς
  μοῖραν τῇ πάντως σεῖό ποτ' ἐσσομένῃ;

## XX

ὦ δύστην' ὄλβοιο Φιλόστρατε, ποῦ σοι ἐκεῖνα
  σκῆπτρα καὶ αἱ βασιλέων ἄφθονοι εὐτυχίαι